## ΠΡΟΒΛΗΜΑ Θ

*Διὰ τί τῷ ποτίμῳ μᾶλλον ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμάτια*

Collocuntur Theo, Themistocles, Plutarchus

**1.** *Θέων ὁ γραμματικὸς ἑστιωμένων ἡμῶν παρὰ
Μεστρίῳ Φλώρῳ πρὸς Θεμιστοκλέα τὸν Στωικὸν διη-
πόρησεν, τί δήποτε Χρύσιππος* (St. V. Fr. III 546)
*ἐν πολλοῖς τῶν παραλόγων καὶ ἀτόπων ἐπιμνησθείς, οἷόν
ἐστι τὸ ʽτάριχος, ἂν ἅλμῃ βρέχηται, γλυκύτερον γίνεσθαιʼ
καὶ τὸ ʽτῶν ἐρίων τοὺς πόκους ἧττον ὑπακούειν τοῖς βίᾳ
F διασπῶσιν ἢ τοῖς ἀτρέμα διαλύουσινʼ καὶ τὸ ʽνηστεύσαν-
τας ἀργότερον ἐσθίειν ἢ προφαγόνταςʼ, οὐδενὸς αὐτῶν
αἰτίαν ἀπέδωκεν. ὁ δὲ Θεμιστοκλῆς εἰπὼν ὅτι ταῦτα
Χρύσιππος ἄλλως ἐν παραδείγματος λόγῳ προύθετο,
ῥᾳδίως ἡμῶν καὶ ἀλόγως ὑπὸ τοῦ εἰκότος ἁλισκομένων
καὶ πάλιν ἀπιστούντων τῷ παρὰ τὸ εἰκός, ἐπιστρέφων* |
**627** *ʽσοὶ δʼʼ ἔφη ʽβέλτιστε, τί πρᾶγμα περὶ τούτων διαπορεῖν;
εἰ γὰρ ἡμῖν αἰτίων ζητητικὸς καὶ θεωρητικὸς γέγονας,
μὴ μακρὰν οὕτως ἀποσκήνου τῶν ἰδίων, ἀλλʼ εἰπὲ διʼ ἣν
αἰτίαν Ὅμηρος* (ζ 59) *ἐν τῷ ποταμῷ πλύνουσαν οὐκ ἐν
τῇ θαλάττῃ, καίπερ ἐγγὺς οὔσῃ, τὴν Ναυσικάαν πεποίη-
κεν, καίτοι θερμοτέραν γε καὶ διαφανεστέραν εἰκὸς καὶ
ῥυπτικωτέραν εἶναι.ʼ*

**2.** *Καὶ ὁ Θέων ʽἀλλὰ τοῦτό γʼʼ εἶπε ʽ⟨διὰ⟩ τῶν γεωδῶν Ἀριστοτέλης* (fr. 217) *πάλαι διαλέλυκεν, ⟨ὃ προ⟩βέβληκας ἡμῖν. ⟨πολὺ γὰρ⟩ τῇ θαλάττῃ τὸ τραχὺ καὶ γεῶδες ἐνδιέ-*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415473934/42 UNIVERSITÄT LEIPZIG